ἀξανθέους καὶ θαυμαστοὺς ποιεῖ ταῖς τῆς ἴδης κάλλεσι ὑπὸ τῷ περιρρέοντι ξάνθῳ
καὶ τῷ ἐκ τῆς ἴδης κατερχομένῳ σιμόεντι τὴν ἠνεμόεσσαν ἴλιον ὅ ἐστι τὴν
ὑψηλὴν τὴν ἀνέμους προσδεχομένην ὑπὸ ταῖς πολλαῖς ἐπ' αὐτῆς ἐχούσας
τὸ ἀγλαὸν ἄστυ· ἤτοι τὴν λαμπρὰν πόλιν τῶν πάλαι γεγενημένων
ἡμιθέων ἣν ὅλεσαν ἄθλων καὶ ὁ ἀπόλλων ἔχθιστος· καὶ ἡ ἥρα καὶ ἡ ἀθηνᾶ
ἐπόρθησαν :

Τὴν δὲ μετ' αἰολίδος παρατέταται ἤθεα γαίης
αἰγαίου παρὰ χεῖλος ὑπὲρ μέγαν ἑλλήσποντον
τῇ δ' ἐπιναιετάουσιν ἀγαυῶν παῖδες ἰώνων
ἀγχίαλοι γεγαῶτες ἐπὶ χθονὸς ἧς διὰ μέσσης
μαίανδρος λιπαρῇσιν ἑλίσσεται εἰς ἅλα δίναις
μιλήτου τε μεσηγὺ καὶ εὐρυχώροιο πριήνης
τῶν ἀμφοτέρων δὲ βορειοτέρην ἐπίδοιο
παρραλίην ἔφεσον μεγάλην πόλιν ἰοχεαίρης
ἔνθα θεῇ περὶ βωμὸν ἀμαζονίδες τετύκοντο
πρέμνῳ ἐνὶ πτελέης περιώσιον ἀνδράσι θαῦμα

ἐξοῦ καὶ μιλησία χρήματα ἡ παροιμία ἐπ' αὐτῶν παρὰ τῶν ἀνωτέρων ἤγουν τῶν ἀθλίων παροιμία πάλαι ποτ' ἦσαν ἄλκιμοι μιλήσιοι

Μετὰ ταύτην δὲ τὴν φρυγίαν τὴν ὑπὸ τῷ ξάνθῳ καμένην καὶ τῷ σιμόεντι
ἰδαίῳ ὅ ἐστι τῷ τῇ ἴδῃ πλησιάζοντι οὗτος καὶ γὰρ μᾶλλον ὁ ποταμὸς
πλησιάζει τῇ ἴδῃ τὰ τῆς αἰολίδος γῆς ἤθη παρατέταται αὐτίκα
ἡ αὐτῆς γῆ παρεκτείνεται παρὰ τὸν μέγαν ἑλλήσποντον παρὰ τὸ χεῖλος
τοῦ αἰγαίου· δι' ἧς μέσης γῆς ὁ μαίανδρος ὅ ἐστι ποταμὸς μιλησίων
ταῖς λιπαραῖς αὐτοῦ συστροφαῖς κατέρχεται εἰς τὴν θάλασσαν ἀνα-
μεταξὺ τῆς μιλήτου ἤ ἐστι πόλις ἰωνικὴ τῆς πλατυχώρου πριήνης
τούτων δὲ τῶν ἀμφοτέρων χωρῶν πρὸς τὰ βόρεια μέρη ἴδοις τὴν μεγάλην
παραθαλάσσιον ἔφεσον· πόλιν τῆς ἀρτέμιδος ὅπου περὶ τὸ ἱερὸν
ἐν τῇ ῥίζῃ τῆς πτελέας αἱ ἀμαζόνιδες βωμὸν κατεσκεύασαν. τοῖς